# ΠΑΝΗΓΥΡΙΣΤΗΣ

ΗΤΟΙ

## *ΛΟΓΟΙ ΠΑΝΤΟΙΑΣ ΥΛΗΣ*

ΣΥΝΤΕΘΕΝΤΕΣ ἢ ΠΑΡΑΦΡΑΣΘΕΝΤΕΣ

ὑπὸ

*ΝΕΟΦΥΤΟΥ ΔΟΥΚΑ.*

ΕΙΣ ΤΟΜΟΥΣ ΔΥΟ.

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ.




ΕΝ ΑΙΓΙΝΗ,

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΑΝΔΡΕΟΥ ΚΟΡΟΜΗΛΑ.

1835.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ.ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ.ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## *Πρὸς τοὺς ὑπὲρ πίστεως καὶ πατρίδος ἐν τῷ πολέμῳ ἀποθανόντας.*

**ΙΕΡΑΙ** σκιαί, θύματα σεβάσμια τῇ πατρίδι γεγενημέναι, αἱ πολλαχῶς τοὺς ἀγρίους τυράννους κατά τε ξηρὰν καὶ ὑγρὰν καταπαλαίσαντες, ὀλίγοι πρὸς πᾶσαν τὴν ἐκείνων ἀντιπαραταξάμενοι δύναμιν, ὑμεῖς ἐδείξατε αὐτοῖς οἵων προγόνων οἷοι τυγχάνετε ὄντες ἀπόγονοι, καὶ οἵα ἐστιν ἡ ἀρετή, ὁπότε μάλιστα περιβάλοιτο καὶ τὸν τῆς πίστεως θώρακα. προμαχόμενοι δὲ γενναίως, μήτε θυμῷ, μήτε πλήθει τῶν βαρβάρων εἴξαντες μηδενί, ἀπεθάνετε νικῶντες, οὔτοι νικηθέντες· ἑκόντες, οὐκ ἄκοντες τὸν κάλλιστον τῶν θανάτων ἑλόμενοι.

Ἐντεῦθεν ἄρ' ἡ πατρὶς ἀποδιδοῦσα τὰ τῆς νίκης βραβεῖα, ἀπονέμει ὑμῖν τὸν ἀγήρω ἔπαινον, ὡς ἀΐδιον στέφανον· τοῦτο γὰρ γέρας ἥδιστον τεθνεῶσιν· ὑμνήσει δὲ καὶ ἡ ἱστορία ἐν ταῖς τῶν ἐπιγιγνομένων μνήμαις, συγκατατάττουσα ὑμᾶς μετὰ τῶν ἀρίστων ἀνδρῶν ἐν τοῖς Ἥρωσιν, ἐν τοῖς Μάρτυσιν· ἄμφω γὰρ ταῦθ' ὑμῖν προσανήκει· τὸ μέν, διὰ τὴν ἀνδρίαν, ἣν ἐπεδείξασθε ἀνυπέρβλητον· τὸ δέ, διὰ τὴν πίστιν, ἧς οὐδ' αἱ πύλαι τοῦ ᾅδου ἐν ὑμῖν κατισχῦσαι ἠδύνηνται.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ.ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Τούτων οὖν ὁμολογεῖ μὲν ἡ πατρὶς κοινῇ τὴν εὐγνωμοσύνην, τοὺς τάφους ὑμῶν τοῖς δάκρυσι καταρδεύουσα, συνομολογεῖ δὲ καὶ ἕκαστος ἰδίᾳ, τῷ τε οἴκτῳ τοῦ πάθους κοπτόμενος, καὶ ὃ νῦν ἐστι, συνειδὼς δι' ὑμᾶς τοῦτο ἀπολελαυκώς.

Ταῦτ' ἄρα, ἵνα κἀγὼ ἔργῳ τοὺς λόγους προσβεβαιώσαιμι, προήχθην ἀφοσιῶσαι ταῖς μακαρίαις ὑμῶν ψυχαῖς τὴν βίβλον ταύτην εἰς μνήμην ἀΐδιον. Ὑμεῖς δὲ δεξάμενοι εὐμενῶς, εὔχεσθε ὑπὲρ ἐμοῦ τὸν πρὸς ὑμᾶς πλοῦν ἀκύμαντόν μοι γενέσθαι· ἤδη γὰρ συσκευάζομαι τῆς νεὼς ἐπιβῆναι, τόν τε κόσμον τῷ κόσμῳ καταλιπών, καὶ τὸν χοῦν τῷ χοῒ παραδοὺς κατὰ τοὺς τῆς φύσεως νόμους· Εὐδαιμονεῖτε.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

# ΠΙΝΑΞ

ΤΩΝ

## ΠΕΡΙΕΧΟΜΕΝΩΝ ΕΝ ΤΩ ΠΑΝΙΓΥΡΙΣΤΗ.

*Ἐγκώμια εἰς τὸν Ἡγεμόνα.*


α΄. Κατὰ τὴν γέννησιν τοῦ Χριστοῦ . . . 1
β΄. Ἕτερον εἰς τὴν Κυρίαν. . . . . . 8
γ΄. » εἰς τὸν Ἡγεμόνα κατὰ τὰ γενέθλια αὐτοῦ. . . . . . 9
δ΄. » ἐν τῇ τοῦ Ἰησοῦ Χριστοῦ ἀναστάσει. 11
ε΄. » κατὰ τὴν γέννησιν αὖθις τοῦ Σωτῆρος. . . . . . . 19
ς΄. » κατὰ τὴν τοῦ Σωτῆρος ἀνάστασιν. 24
ζ΄. » εἰς τὴν γέννησιν αὖθις. . . . 28


*Λογίδρια ἢ μελέται εἰς τὴν Ἑκάβην τοῦ Εὐριπίδου.*


α΄. Ἑκάβη λέγει. . . . . . . . 32
β΄. Νεοπτόλεμος. » . . . . . . . 36
γ΄. Ὀδυσσεὺς » . . . . . . . 38
δ΄. Πολυξένη » . . . . . . . 43
ε΄. Μενέλαος » . . . . . . . 49
ς΄. Ἀγαμέμνων » . . . . . . . 51
ζ΄. Ταλθύβιος » . . . . . . . 52


*Εἰς τὸν Αἴαντα τοῦ Σοφοκλέους.*


α΄. Αἴας λέγει . . . . . . . . . . 56
β΄. Τέκμησσα. . . . . . . . . . 58
γ΄. Αἴας πρὸς ταῦτα. . . . . . . 60
δ΄. Ναῦται πρὸς ταῦτα. . . . . . 61
ε΄. Αἴας προσποιούμενος καθαρισμόν. . . 64
ς΄. Ναῦται ἀγνοοῦντες τὸ μελετώμενον. . 66
ζ΄. Ἄγγελος λέγει. . . . . . . . . 67
η΄. Αἴας μονωθείς, καὶ μέλλων ἐπιπεσεῖσθαι τῷ ξίφει. . . . . . . . . . 68
θ΄. Τεῦκρος ἐλθών, ὀδύρεται ἐπὶ τῷ νεκρῷ. 70
ι΄. Μενέλαος, πειρώμενος κωλῦσαι τὴν ταφήν. 73


ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ.ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

ια'. Τεῦκρος πρὸς ταῦτα. . . . . . . . 74
ιβ'. Ἀγαμέμνων ἐλθὼν πρὸς ταῦτα. . . . 75
ιγ'. Τεῦκρος πρὸς ταῦτα. . . . . . . 77
ιδ'. Ὀδυσσεὺς ἐλθὼν διαλλάττει. . . . 78
Ἐπιστολαὶ ἢ θέματα μαθηταῖς παντοίας ὕλης. . 80
Αἰσχύλου Προμηθεύς. . . . . . . . . . 135

*Παράφρασις τῶν δημηγοριῶν Θουκιδίδου.*

α'. Κερκυραῖος λέγει. . . . . . . . 214
β'. Κορίνθιος πρὸς ταῦτα. . . . . . . 218
γ'. Οἱ Κορίνθιοι πρὸς Λακεδαιμονίους. . 222
δ'. Ἀθηναῖοι πρὸς ταῦτα. . . . . . . 227
ε'. Ἀρχίδαμος λέγει. . . . . . . . 231
ς'. Σθενελαΐδας » . . . . . . . 235
ζ'. Κορίνθιος » . . . . . . . 236
η'. Περικλῆς » . . . . . . . 240
θ'. Ἀρχίδαμος » . . . . . . . 246
ι'. Περικλῆς » . . . . . . . 247
ια'. Ὁ αὐτός. » . . . . . . . 256
ιβ'. Βρασίδας. » . . . . . . . 261
ιγ'. Φορμίων. » . . . . . . . 262
Βίβλος ζωῆς, ἐν ᾗ καταγραφήσονται τὰ ὀνόματα τῆς συστηθησομένης Ἀκαδημίας. . . . . . 264
Θούριος πρὸς τὴν ἐκστρατείαν τοῦ Ὑψηλάντου. . 288
Περὶ Ἱερέων καὶ διδασκάλων. . . . . . . . 306

*Ἐπιφωνήματα.*

Εἰς σύστασιν τοῦ ἐν Βουκουρεστίῳ Σχολείου. . 325
Εἰς τὴν ἔναρξιν τοῦ Σχολείου Αἰγίνης. . . . 332

*Ἐπιτάφιοι.*

Εἰς τὴν ἀνακομιδὴν τῶν λειψάνων Λ. Φωτιάδου. 336
Εἰς τὴν ταφὴν τῆς μακαρίτιδος Ζωῆς Βραγκοβάνας. 343
Εἰς τὴν τοῦ μακαρίτου Βεστιάρη Ι. Χ. Μόσχου. . 350
Εἰς τὴν τοῦ μακαρίτου Ζήσου Καραπάνου. . . 357
Εἰς τὴν τοῦ μακαρίτου Ποστελνίκου Δημ. Μάνου. 363
Λόγος προτρεπτικὸς περὶ σχολείου πρὸς τὸν περιβόητον Βεζύρην Ἀλῆ-Πασᾶν. . . . . . 371

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ.ΚΑΘΗΓΗΤΗΣ ΓΙΩΡΓΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Γ.Δ. της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ.ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

ΛΟΓΟΙ

# ΠΑΝΙΓΥΡΙΚΟΙ

ΗΤΟΙ

ΕΓΚΩΜΙΑ ΕΙΣ ΤΟΝ ΗΓΕΜΟΝΑ

ΤΗΣ

# ΔΑΚΙΑΣ. (*)

## ΚΑΤΑ ΤΗΝ ΓΕΝΝΗΣΙΝ ΤΟΥ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ.

ΗΧΗΣΕΝ ἡ Προφητικὴ σάλπιγξ, τὸ σωτήριον πᾶσιν ἀνθρώποις ᾆσμα σαλπίσασα, ὁ μεγαλοφωνότατος Ἡσαΐας, εἰπών. Παρθένος ἐν Γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν τὸν Ἐμμανουήλ· ἰδοὺ γὰρ ὁ υἱὸς καὶ λόγος τοῦ θεοῦ, ἐκ γαστρὸς προελήλυθε, τὸ ἀνθρώπινον φύραμα ἐπὶ γῆς προσλαβών, ἵνα τὸν ἄνθρωπον θεὸν ἀπεργάσηται· μυστήριον δὲ τοῦτο πά-

(*) Ἰωάννου Καρατζᾶ ἡγεμονεύοντος ἐν Βλαχίᾳ, κατέστην Διδάσκαλος ἐν τῷ κατὰ τὸ Βουκουρέστιον γυμνασίῳ· ἔθος δέ ἐστιν αὐτόθι λέγειν Ἐγκώμια τῷ Ἡγεμόνι Ἑλληνιστὶ συντεθειμένα παρὰ τοῦ πρώτου διδασκάλου· ἐκφωνεῖ δ' αὐτὰ μαθητής τις τῶν εὐγλωττοτέρων ἑκάστου ἐνιαυτοῦ κατά τε τὴν δευτέραν τῆς γεννήσεως τοῦ Χριστοῦ, καὶ τὴν δευτέραν τῆς Διακαινισίμου, συμπαρεδρευούσης τῆς Γερουσίας καὶ πάντων τῶν ἄλλων εὐπατριδῶν. Τῷ νόμῳ τοίνυν τούτῳ καὶ ἡμεῖς ἠναγκάσθημεν τοιαῦτα γράφειν καὶ λέγειν πρὸς ἀνθρώπους,

» Τῶν ὕβρις τε βίη τε σιδήρεον οὐρανὸν ἱκάνει,

ἐφ' οἷς δικαίως ἂν ἀγανακτήσειαν διὰ τὴν ἐνυπάρχουσαν κολακείαν οἱ ἐνσκεψόμενοι τῶν μεταγενεστέρων, καὶ ἐν ἐλευθέρῳ, ὡς εἰκός, ἐσόμενοι χρόνῳ· ἀλλὰ πολὺ δικαιότερον ἂν εἶεν, ὡς ἔγωγε φημί, ἐλεεῖν ἡμᾶς, ὅτι



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

λαι μὲν ἐστι προτυπούμενον, ἐπ' ἐσχάτων δὲ των ἡμερῶν ἐνεργούμενον· μυστήριον, ἐν εἴδει πυρὸς ἐν τῇ βάτῳ ὁρώμενον, καὶ του φυτοῦ οὐδ' ὁτιοῦν ἐφαπτόμενον, πῦρ ἐκ πυρὸς προελθὸν, τὴν δὲ ἡμετέραν φύσιν περιβαλλόμενον, αὐτὴν μὲν οὐδαμῶς, τὸ δὲ ἐν αὐτῇ τῶν προπατόρων συμπλέξαν παράπτωμα, καὶ θεῖον ἄλλως τὸν ἄνθρωπον ἐκ φιλανθρωπίας ἀπεργασάμενον· μυστήριον, λόγῳ μὲν μηδαμῶς λαμβανόμενον, πίστει δὲ βεβαιούμενον· φθάνει γὰρ τὸ γενόμενον τὴν κατάληψιν, καὶ τὸ θαῦμα ἀπροσδοκήτως παραιρεῖται τὴν γνῶσιν· ἐπειδὴ φύσις ἀνθρωπίνη διὰ μήτρας παρθενικῆς τικτομένη, τὴν φύσιν τῆς παρθενίας ἐφύλαξεν ἄφθορον, καὶ μήτηρ ἀνθρώπου ἐν τόκῳ καὶ μετὰ τόκον ὡς πρὸ τοῦ τόκου διέμεινεν· εἰ γὰρ ὁ ἐκ τῆς ἡμετέρας οὐσίας οὐσιωθεὶς ὑπερούσιος λόγος καθ' ἡμᾶς ἐγεννήθη, ἄνθρωπος ἂν ἦν ἁπλοῦς καθ' ἡμᾶς· νῦν δὲ τὴν τεκοῦσαν παρθένον φυλάξας, θεὸς τοῖς εὖ φρονοῦσι γνωρίζεται· θεοπρεπὲς γὰρ, ὥσπερ τὸν τῆς συλλήψεως, οὕτω καὶ τὸν τῆς γεννήσεως τρόπον ἀνερμήνευτον εἶναι.

Τί οὖν σκανδαλίζεται ὁ Ἰουδαῖος, μὴ κατανοῶν τὸν ἀνέκφραστον; τί δὲ καὶ ὡς ἀσπὶς κωφεύει πρὸς τὰς τῶν ἐπᾳδόντων φωνὰς, καὶ πρὸς τὰς τῶν Προφητῶν προῤῥήσεις ἐπιβύει τὰ ὦτα; καί τοι τὴν τῶν γεναρχῶν ἐκ τοῦ μηδενὸς ἐπιδέχεται πλάσιν παρὰ τοῦ πλάσαντος, καὶ φύσιν ὑδάτων παρὰ φύσιν ἑκατέρωθεν πεπηγυῖαν, καὶ λαὸν Ἰσραηλίτην ἐ-

ἐν τοιούτοις γεγενήμεθα χρόνοις, καθ' οὓς οὐδ' αὐτῷ φειδόμενοι. καὶ θωπεύοντας τοὺς τυράννους, ἐδυνήθημεν πλέον δι' αἰτίας ἐν εἰρήνῃ θεραπεῦσαι τὰς Μούσας· ἀλλ' ἡμεῖς τε ἐκινδυνεύσαμεν, τὸ κρανίον κατεαγότες, καὶ τὸ γυμνάσιον ἀνετράπη· ὡς κἀκ τῶν προτεθέντων λόγων τῶν περὶ τῆς τῶν θηρίων ἐλευθερίας γίνεται δῆλον· αἰνίττεται γὰρ ἡ ὑπόθεσις ἐντεῦθεν ἔχει λαβοῦσα πεπόνθαμεν.

κεῖθεν παραδόξως πεζεύσαντα, καὶ Φαραὼ πανστρατιᾷ αὐτόθι ποντούμενον, καὶ στήλην πυρὸς ἄνωθεν ὁδηγοῦσαν, καὶ μάννα οὐρανόθεν εἰς τροφὴν ἐπιούσιον κατερχόμενον, καὶ τείχη τῆς Ἱεριχὼ φωνῇ σαλπίγγων καταῤῥιπτούμενα, καὶ Σάῤῥας στείρωσιν ἐν γήρᾳ βαθεῖ λυομένην, καὶ ἄγγελον χεῖρα γηραλαίαν ἐπὶ τὴν φύσιν προτεινομένην κωλύοντα, καὶ Ἠλίαν εἰς οὐρανὸν ἐν πυρίνῳ ἀναρπαζόμενον ἅρματι, καὶ χήρας υἱὸν παρ' αὐτοῦ ἀνιστάμενον, καὶ μαθητὴν διάδοχον τῶν θαυμάτων γενόμενον.

Ταῦτα μὲν οὖν, καὶ ὅσα τούτοις ὅμοια ὁ λόγος παρέδραμεν, ὁ Ἰουδαῖος καλῶς ποιῶν ἀποδέχεται· οὗ δὲ τὰ πλείω τούτων τυγχάνει γε ὄντα προδιατύπωσις, καὶ περὶ οὗ χορὸς ὅλος θεοπνεύστων Προφητῶν προηγόρευσε, τοῦτο μόνον ἀναίνεται παρθένον ἀπειράνδρως τεκοῦσαν, καὶ θεὸν φαινόμενον ἐν σαρκί· ἀλλ' ὅπερ ἐκείνοις μὲν σκάνδαλον, ἐθνικοῖς δὲ μωρία, τοῦθ' ἡμῖν σωτήριον πιστευόμενον εὐφρόσυνον γίγνεται· πίστει γὰρ μόνῃ εἰς τὸ συνιέναι τὸ μέγα τοῦτο μυστήριον τυγχάνομεν ἀναγόμενοι, καὶ ὡς ἐφικτὸν ἀνθρωπίνῳ νοΐ, τῷ βάθει ἐγκύψαντες, εὐθὺς πρὸς ὕψος τὰ ὄμματα αἴροντες, λέγομεν εὐλαβῶς, Στῶμεν καλῶς· καὶ θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ ὁμολογοῦντες τὸν γεννηθέντα, μετὰ τῶν ἀγγέλων ἀνυμνοῦντες, βοῶμεν, Δόξα ἐν ὑψίστοις θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ἀλλὰ ταῦτα μὲν καὶ πᾶσι τοῖς τῷ τῆς θεογνωσίας φωτὶ καταλαμπομένοις κοινῇ ἐκ τῆς ἑορτῆς ἐστι πανευφρόσυνα· ἡμῖν δ' οὖν τοῖς ὑπὸ τῷ εὐμενεστάτῳ σκήπτρῳ τῆς σῆς θεοστηρίκτου ὑψηλότητος καὶ πλέον προσγίγνεται· πρὸς γὰρ τῷ τῆς πανηγύρεως καὶ ἐκ τῶν σῶν ἀρετῶν οὐχ ἧττον εἰς εὐφροσύνην ἅπαντες προαγόμεθα· τέταρτος γὰρ ἤδη οὗτος περικλομένων ἐνιαυτῶν τὸ θεόσδοτον σκῆπτρον τῆς ἡγεμο-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ.ΚΑΘΗΓΗΤΗΣ ΓΕΩΡΓΙΟΣ ΑΝΤΩΝΙΟΥ ΠΕΤΡΟΣ
Ε.Υ.Δ.ΚΗΣ Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ.ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

νίας διαδεξάμενος, νέας ἐλπίδας ἡμῖν εὐζωίας παρέχεται· καὶ γὰρ βούλησιν ἅμα καὶ δύναμιν θεόθεν τυγχάνεις εὑράμενος· βούλησιν μὲν, οἵαν ζητεῖν κατὰ δύναμιν τὰ τῷ ὑπηκόῳ ξυμφέροντα· δύναμιν δὲ ὅσον ἐκτελεῖν αὐτὰ κατὰ βούλησιν· τὸ μὲν, τὴν τῆς ψυχῆς καθ' ἑαυτὴν ἐπιδεικνύον θεωρίαν καὶ τελειότητα· τὸ δὲ, τοῖς λαοῖς πρυτανεῦον τὴν πρᾶξιν· κἀκεῖνο μὲν, ἔμφυτον πρὸς εὕρεσιν τῶν πρακτέων· τοῦτο δὲ, ἔξωθεν χορηγούμενον πρὸς ἐκτέλεσιν τῶν εὑρημένων· ὧν θάτερον παρὰ θάτερον δοκεῖ ἀτελές· ἡ δὲ ἀμφοτέρων εἰς ταὐτὸ συνδρομὴ, οὗπερ ἐπιθυμοῦσι μὲν τῶν Ἡγεμόνων πολλοὶ, τυγχάνουσι δ' οὐδ' ὀλίγοι, τοῦτο γίγνεται τῶν πραγμάτων ὅρος ἀκρότατος. Ἤδη γὰρ ὁρῶμεν ἐν σοὶ, δικαιότατε ἡγεμόνων ἁπάντων, καὶ θέμιν αὐτὴν,

> Ἣ καὶ Φοῖβον ἄνακτα θεμιστοσύνας ἐδίδαξεν,

οἷον ἄλλον Ἀριστείδην, τὴν τῆς δίκης πρυτάνην ἐνδεξιᾷ σε φέρονθ' ἡμῖν πρυτανεύσασαν.

> « Οὐ γὰρ δοκεῖν δίκαιος, ἀλλ' εἶναι θέλεις,
> « Βαθεῖαν ἄλοκα διὰ φρενὸς καρπούμενος,
> « Ἀφ' ἧς τὰ κεδνὰ βλαστάνει βουλεύματα.

καὶ Ἀθηνᾶν τεχνῶν μητέρα πολύβουλον τὸν φρόνιμον ἡμῖν παρασχοῦσαν Ὀδυσσέα πάντων ὑπέροχον ἄλλων.

> « Βουλῇ καὶ μύθοισι καὶ ὑπεροπτίδι τέχνῃ.

πρὸς δὲ τούτοις ὁρῶμεν ὁμοίως καὶ Μούσας προσενεγκούσας τοὺς λόγους αὐτοὺς διὰ σοῦ τῷ λαῷ, τάτ' ἤθη ἐπὶ τὸ βέλτιον μεταστήσειν, καὶ τὴν εὐδαιμονίαν αὐτοῖς περιποιήσειν ὑπισχουμένους· δεῖ γὰρ κατὰ λόγον καὶ λόγους καὶ πρᾶξιν εἶναι σὺν λόγοις τοῖς τῶν λόγων ἐρασταῖς καὶ προστάταις· ἐπὶ δὲ πᾶσι καὶ Φοῖβον Ἀπόλλωνα, ἐμμελῶν εὑρέταν κλει-

Ε.Υ.Ε. της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ.ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

νῶν, ὃ παρ' οὗ καὶ τὴν προστασίαν τῶν λόγων τυγχάνεις εὑράμενος, στέμμα εὐανθὲς καὶ ἀμάραντον ἐκ ταύτης τῆς τριάδος τῶν ἀρετῶν τῇ θεοστηρίκτῳ σου πλέξαντα κορυφῇ, καὶ τοῦτον προσενεγκόντα τῇ Φήμῃ, ἐφ' ᾧ διαδραμοῦσαν ἐπὶ πλεῖστον τῆς καθ' ἡμᾶς οἰκουμένης, ταῦτ' ἀνειπεῖν· καί γε εἰκότως· σὺ γὰρ, ἄριστε Ἡγεμόνων, σὺ πολλῶν πεῖραν ἔχων, φύσεως ἐν πᾶσιν ἰσχὺν, καὶ νοὸς ὀξύτητα διαφερόντως ἐδήλωσας, τῶντε παραχρῆμα δι' ἐλαχίστης βουλῆς γενόμενος κράτιστος, καὶ ἐπὶ πλεῖστον τοῦ μέλλοντος τό, τ' ἄμεινον καὶ τὸ χεῖρον ἔτι ἐν τῷ ἀφανεῖ προορῶν· φύσεως γὰρ δυνάμει καὶ μελέτης βραχύτητι κράτιστος ἀνεφάνης αὐτοσχεδιάζειν τὰ δέοντα, τά τε παρὰ πόδας καὶ τὰ πόῤῥω εὖ διαθέμενος, καὶ κριτὴς διατελῶν ἱκανώτατος· διὸ οὐχ' ὅπως γνῶναί τε τὰ δέοντα, καὶ ἐνθυμηθῆναι, ἃ βέλτιστα πᾶσιν εἶναι δοκεῖ· ἀλλὰ καὶ τοῖς ἄλλοις σοφῶς τε καὶ ἡγεμονικῶς τἀνθυμήματα ἐπιτάττειν, οὐδεὶς ἔσθ' ὅστις οὐκ ἂν ὁμολογήσειεν ἄριστόν σε περὶ ταῦτα γενέσθαι.

Ταῦτα ἄρα θεόσδοτον ἦν σοι καὶ προωρισμένον τὸ σκῆπτρον ἀρετῆς ἄντικρυς ὄφλημα· οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν τῶν τῆς ἡγεμονίας πραγμάτων, ὃ μὴ ἄριστα μὲν διανοηθεὶς, ἄριστα δὲ διαπραττόμενος, ἃ μὲν προαιρέσει οἰκείᾳ προανθευσάμενος; οἷς δὲ δυνάμει τέλος ἐπιθεῖναι κελεύσας, ἰσχὺν ἡγεμονίας σώφρονος καὶ δικαίας ἐδήλωσας ἅπασι· τί γὰρ τῶν σῶν, εὐμενέστατε Ἡγεμὼν, οὐχὶ τῶν ἐπαινετῶν; ἢ τί τῶν μάλιστ' ἐπαινουμένων οὐκ ἐν τοῖς σοῖς; ἀπὸ γὰρ πρώτης ἀφετηρίας διατελεῖς τάτ' ἄλλα εὐεργετῶν τὸ ὑπήκοον, καὶ δὴ καὶ νοσοκομεῖον τοῖς ὑπὸ παντοίων νοσημάτων κάμνουσιν ἀνεγεῖραι θεσπίσας, μισθὸν ἀνάγραπτον παρά τε θεῷ καὶ ἀνθρώποις, ἄνω μὲν τὴν τῆς ἀρετῆς ἀμοιβὴν προσδοκῶν, κάτω δὲ παρ' ἡμῶν τὴν εὐγνωμοσύνην ἀπολαμβά-

Ε.Υ. Ζήσης Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

κων τυγχάνεις. Περὶ δὲ τοῦ Ἑλληνομουσείου τι καὶ ἂν εἴποιμι; οὐ γὰρ,

« Οὐδ' εἴ μοι δέκα μὲν γλῶσσαι, δέκα δὲ στόματ' εἶεν,
« Φωνὴ δ' ἄῤῥακτος, χάλκεον δέ μοι ἦτορ ἐνείη.

οὐδὲν οὐδ' οὕτω πρὸς τοιοῦτον καὶ τοσοῦτον ἂν εἴποιμι μέγεθος· ἅμα γὰρ ἀναβὰς εἰς τὸν ὑψηλότατον τοῦτον θρόνον, τῆς νεολαίας εὐθὺς καὶ πρώην καὶ νῦν οὐ μικρὰν ὤφθης ποιησάμενος πρόνοιαν, διδάσκουσί τε καὶ διδασκομένοις ἀφθόνως πρυτανεύσας τὰς εὐποιΐας, τὸ γυμνάσιον ἡμῶν ἐπὶ τὸ βέλτιον μεταστήσας, καὶ προσόδους ἴσους τῇ χρείᾳ, οἷα εἰκὸς ἦν Ἡγεμόνα σοφὸν, καὶ πατέρα κοινὸν, δαψιλευσάμενος, ὡς ἑνὸς καὶ μόνου καταστοχαζόμενος, τό θ' ὑπήκοον τῆς εὐδαιμονίας τυχεῖν, καὶ τὸ γένος τὸ τῶν Ἑλλήνων, καταφυγὴν ἐξ ἐπιεικείας ἡγεμονικῆς εὑρημένους ἐνταῦθα, τὴν πατρῴαν ἐν λόγοις ἀνακτήσασθαι εὔκλειαν· διψᾷ γὰρ ἤδη ἡ τάλαιν' Ἑλλὰς, φιλανθρωπότατε Ἡγεμὼν, διψᾷ τὰ πρὸς μάθησιν· Ἑλλὰς ἐκείνη, φημὶ, ἡ πάλαι μὲν περικλεὴς καὶ περίβλεπτος, νῦν δὲ ἀκλεὴς καὶ κατηφὴς καὶ ἐλεεινὸν ἐρείπειον γενομένη· ἧς τὰ τέκνα πατρίδα καὶ οἰκείους καταλιπόντες, καὶ πόλεις ἐκ πόλεων διηνεκῶς προϊόντες, τὴν τῶν ἀθανάτων προγόνων ζητοῦσι σοφίαν καὶ εὔκλειαν· διὸ πανταχόθεν ἐπὶ τὸν ἡγεμονικὸν θρόνον, ὡς ἐπὶ τράπεζαν περιούσιον ἐνταυθοῖ ἀφ' ὑψηλοῦ τοῦ κηρύγματος συῤῥέοντες, συγκεντρίζονται, τάτ' ἀπολεσθέντα ἐλπίζοντες ἀνασώσεσθαι, καὶ ἥντινοῦν ὡς ἐν Πρυτανείῳ τῷ γυμνασίῳ παρὰ σοῦ τοῦ τῶν λόγων προστάτου προσδοκῶντες εὑρήσεσθαι σίτησιν· τοῦτο γὰρ ἦν σοι καὶ ἐξ ἀρχῆς καὶ νῦν τὸ βουλόμενον, κἀκείνοις ὁμοίως τὸ σπουδαζόμενον, ἐπὶ τὴν Πιερίαν ἀνελθεῖν, καὶ κορυφὰς ἀρετῶν ἄπο πασέων, κατὰ τὸν Λυρικὸν, ἀπο-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ.ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Δήμης Κ. τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

θρεψαμένους ἐκεῖθεν, τῆς τε πατρίδος, καὶ τῆς Ἡγεμονικῆς σοῦ κηδεμονίας ἀξίους ἀναφανῆναι· μαρτύριον δὲ τοῦ λόγου σαφὲς, μηδέπω ἐπὶ μακρότατον σκοποῦσι ταῦτα μνημονεύεσθαι ἐν Δακίᾳ ἐν τοῖς πρὶν χρόνοις περὶ λόγους γεγενημένα· ἐοίκασι γὰρ αἱ Μοῦσαι, καθάπερ καὶ ἄλλο τι τῶν τιμωμένων, ἐκεῖ μᾶλλον ἐνασμενίζειν, ἔνθ᾽ οἱ αὐτῶν ἐρασταὶ καὶ θεράποντες ταῖς προσηκούσαις αὐταῖς τιμῆς ἠξιώθησαν· ἐντεῦθεν ἄρα, οἷς παιδείας ἔρως ἐντέτηκται, δρόμος ἐστὶν ὡς ἡμᾶς, καὶ ἤδη τὸ στάδιον τῆς μαθήσεως ξύμπαντες εὐδαίμονές τε καὶ μὴ εὐδαίμονες, αὐτόχθονές τε καὶ ξένοι, ἀμεταστρεπτεὶ διατρέχουσι, καὶ οὐδὲν, ἢ ἐφ᾽ οἵῳ μὲν ἱδροῦσι βραβείῳ, πρὸς οἷον δέ σε τὸν ἀγωνοθέτην ἀθλοῦσι, διανοούμενοι, ἐπὶ τὸν Ἑλικῶνα συνεχῶς κατατείνουσι, τά τε τῆς φιλοσοφίας ἀρυσόμενοι νάματα, καὶ τὴν ἡγεμονικήν σου κορυφὴν ἄνθεσιν ἐκεῖθεν εὐγνωμοσύνης, ὡς μουσηγέτου καὶ εὐεργέτου ἀναφανέντος αὐτοῖς, καταστέψοντες· διὸ ἅπαξάπαντες, πατέρες τε καὶ μητέρες, εὐδαίμονές τε καὶ πένητες, πᾶσα μὲν ἡ νεολαία, πᾶσα δὲ ἡ πόλις, χεῖρας ἱκέτιδας αἴροντες, τὴν ἀπὸ καρδίας εὐγνωμοσύνην ἐμφαίνουσιν, ὅ,τε Κλῆρος ἅπας μετὰ τῆς Γερουσίας, καὶ ξύμπαν ὁμοθυμαδὸν τὸ ὑπήκοον, κοινὴν ἤδη χορείαν στησάμενοι, τοῦ Ποιμενάρχου αὐτοῖς προεξάρχοντος, ἐπεύχονται. Ζήτω ὁ εὐσεβέστατος καὶ ὑψηλότατος ἡμῶν ἡγεμὼν ἀστεμφῶς καὶ ἀδιασείστως, ἐπὶ τοῦ ἡγεμονικοῦ στερεούμενος θρόνου, καὶ διηνεκῶς κραταιούμενος, πᾶν τὸ ἀντικείμενον ὑψηλῷ καταπαλαίων βραχίονι· περιφρουροίη δὲ ἡ ἔμμαχος δεξιὰ τοῦ ὑψίστου τὸ τρισόλβιον αὐτοῦ ὕψος μακρόβιον, εὔθυμον, ὑγιαῖνον, καὶ εὐδαιμονοῦν καθ᾽ ἑκάτερα μετὰ τῆς εὐσεβεστάτης Δόμνης, καὶ τῶν ἐκλαμπροτάτων χρυσῶν βλαστῶν· γένοιτο.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ.ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008